γέγονεν Ἡλίου θυγάτηρ καὶ ἐφίλησε Ταῦρον καὶ ἐποίησε τὸν Μινώταυρον, ὃν ἐφόνευσε ὁ Θησεύς· καὶ τινές φασιν, ὅτι Ταῦρός τις ἄνθρωπος στρατηγὸς τοῦ Μίνωος εἰς ἔχθραν αὐτῷ ἦλθεν καὶ ἐπολέμησεν αὐτῷ καὶ διὰ τοῦτο Μινώταυρος ἐκλήθη ἀντὶ τοῦ ὁ Μίνωος στρατηγὸς Ταῦρος· πρὸς τοῦτον οὖν ἐπέμφθη πολεμήσων ὁ Θησεύς· ψεῦδος δέ· μετὰ δασμοῦ γὰρ ἀπεστάλη, οὐκ ἂν δὲ πρὸς τοιοῦτον στρατηγὸν πεμπόμενος δασμῷ ἐπέμπετο· καὶ πάλιν φασὶν Ἀριάδνην μίτον δεδωκέναι καὶ οὕτως σεσωκέναι αὐτὸν ἐκ τοῦ Λαβυρίνθου. πάντα οὖν ταῦτα ἕτερόν τι σημαίνει· ὁ μὲν γὰρ Μινώταυρος τὰ ἐν ἡμῖν θηριώδη πάθη σημαίνει, ὁ δὲ μίτος θεῖάν τινα δύναμιν ἐξημμένην, ὁ δὲ Λαβύρινθος τὸ σκολιὸν καὶ πολυποίκιλον τοῦ βίου· ὁ τοίνυν Θησεὺς ἄριστος ὢν κατεκράτησε τῶν παθῶν τούτων, καὶ οὐ μόνον αὐτὸς κατεκράτησεν, ἀλλὰ καὶ ἄλλους ἐπαίδευσεν.

τοῦτο γάρ ἐστι τὸ σῶσαι καὶ ἄλλους πεμφθέντας μετ' 6
αὐτοῦ. ἰστέον οὖν, ὅτι μείζονα εἶχεν ὁ Θησεὺς μέτρα τοῦ Ὀδυσσέως· ἐκεῖνος μὲν γὰρ ἑαυτὸν ἐπαίδευσεν, ἄλλους δὲ οὐκ ἐδυνήθη παιδεῦσαι· οὐ γὰρ ἔσωσε τοὺς ἑταίρους αὐτοῦ. ὁ μέντοι Θησεὺς καὶ ἄλλους ἐπαίδευσεν. καὶ πάλιν φασίν, ὅτι ὁ Ἡρακλῆς κατῆλθεν εἰς Ἅιδου καὶ τὸν Θησέα ἔλαβεν πείσας τὸν Κέρβερον κύνα· καί τινες πάλιν ἐροῦσιν, ὅτι Κύων τις γέγονεν ἀπηνὴς ἄνθρωπος· ψεῦδος δέ· ἀλλὰ κύων ἐστὶν ἡ ἐλεγκτικὴ ζωή. ὁ οὖν Ἡρακλῆς εὐδαίμων ὢν καὶ μέγιστος ἐλέγχων πάντας ἔσωζεν· καὶ γὰρ οἱ ιβ αὐτοῦ ἆθλοι ἕτερα σημαίνουσιν· καὶ πάλιν φασὶ τὸν Σκίρωνα ἐν τῷ Ἰσθμῷ ὄντα περὶ κρημνώδεις τόπους, οὓς ὁ φιλόσοφος Ἀμμώνιος ἔφη ἱστορηκέναι, κελεύειν τοὺς παριόντας νίπτειν αὐτοῦ τοὺς πόδας καὶ λακτίζειν αὐτοὺς καὶ φονεύειν· ἄλλοι δὲ εὐνομώτατον καὶ δικαιότατον αὐτόν φασιν, ὥστε ἀμφιβάλλεται ταῦτα ὡς μυθώδη καὶ οὐ δεῖ πιστεύειν ἀμφιβάλλουσιν αὐτοῖς.

εἰ δέ τις εἴποι, ὅτι οὐκοῦν οὐδὲ τοῖς φιλοσόφοις πιστευτέον, 7
ἐπειδὴ ἀμφιβάλλουσι, καὶ οἱ μὲν ὕδωρ φασὶ τὴν ψυχήν, οἱ

21 mg. περὶ Ἡρακλέους ἀλληγορία  26 mg. τὰ περὶ Σκίρωνος  30 mg. ἀπορία

27 κρημνώδεις ς κριμνώδεις M